**ἐπιωνικὸν ἀπὸ μείζονος τετράμετρον καταληκτικόν**

× – ◡ – – – – ◡ ◡ – ◡ – ◡ – ◡ –

Hephaest. 45. 16 sqq. τετράμετρον δὲ καταληκτικὸν ἐπιωνικόν (*scil.* ἀπὸ μείζονος), ὃ τὴν μὲν πρώτην ἔχει ἰαμβικήν, ἤτοι ἑξάσημον ἢ ἑπτάσημον, τὴν δὲ δευτέραν ἰωνικὴν ἢ δευτέραν παιωνικήν, τὴν δὲ τρίτην τροχαικὴν ἑξάσημον ἢ ἑπτάσημον, εἶτα τὴν ἐκ τροχαίου καὶ τῆς ἀδιαφόρου κατάκλειδα, οἷον· (frr. 51-52 [PLG III, p. 703] Bergk[4])

τοοῦτος εἰς Θήβας πάις ἁρμάτεσσ᾽ ὀχήμενος -
Μᾶλις μὲν ἔννη λεπτὸν ἔχοισ᾽ ἐπ᾽ ἀτράκτῳ λίνον.

κανὼν δὲ αὐτοῦ·

αβαβ ββαα βαβα βαα$^{β}$
ββαβ αβαα βαββ βαβ$^{α}$.

Arist. Qvint. I 28 (p. 51. 15 sqq. Winnington - Ingram) ἐπιφέρεται δ᾽ αὐτῇ (scil. διποδίᾳ) πολλάκις καὶ ἰωνική, ἣ συμπέπονθε τῇ τροχαικῇ· ἐπιφέρεται δὲ καὶ τῇ πρὸς αὐτὴν ἀντικειμένῃ, λέγω δὲ τῇ ἀντισπαστικῇ. αὔξεται δὲ καὶ ταῦτα μέχρι τετραμέτρων, καὶ τὰ μὲν αὐτῶν ἀκατάληκτα, τὰ δὲ καταληκτικὰ γίνεται.

[*P.S.*]